δολιότητα καὶ τὸν θανατηφόρον ἰὸν σῇ καρδίᾳ ἐνέθηκαν, ὅσην δὲ οὗτοι τὴν ἡδονὴν καὶ τὴν ψυχικὴν εὐεξίαν χαρίζονται. Οὐ γὰρ ἀπ' ἐμαυτοῦ τι λαλήσω, ἀλλ' ὅσα παρὰ τοῦ Ἁγίου Πνεύματος καὶ τῆς παρ' αὐτοῦ ἐμπνευσθείσης Γραφῆς ἐξηντλήσαμεν. Οὐδέ γε εἴ τι πρὸς τῶν ἀλλοτρίων λεχθέν, συνεισφέρον δὲ τῷδε τῷ λόγῳ καταλείψομαι, ἵν' οὐ μόνον τοῖς ἀλλοτρίοις πτεροῖς, ἀλλὰ καὶ τοῖς οἰκείοις καταφθαρήσωνται βαλλόμενοι οἱ πολέμιοι καὶ μᾶλλον ἀλγῶσιν. Ἔσται δέ, ὡς ἐμοὶ φίλον, ὁ λόγος σύντομος, ἐν ἐκείνοις μᾶλλον διατρίβων, οἷς τὸ ἀμφίβολον καὶ παρ' ὀλίγοις ἐπιλυθέν, καταλιμπάνων δὲ τὰ πολλά, ὅσα δῆλα δὴ παρ' ἑτέρων καλῶς τε καὶ ἱκανῶς διευκρίνηνται καὶ αὐτὸς δύνῃ συμβαλεῖν τῇ θείᾳ Γραφῇ καὶ τοῖς τούτων ἐγκύπτων συγγράμμασι. Καὶ πρῶτον μέν, εἰ δοκεῖ, περὶ τῆς Ἁγίας Τριάδος τὸν λόγον ποιήσωμεν, εἶτα περὶ τοῦ ἑνὸς αὐτῆς, τοῦ Κυρίου ἡμῶν Ἰησοῦ Χριστοῦ, θεωροῦντες ὡς εἰ ψιλὸς ἄνθρωπος οὗτος, κατὰ τὸν Μωάμεθ, καὶ ὡς εἷς τῶν προφητῶν κατὰ τοὺς ὑποβαλλομένους συλλογισμούς, ἢ οὐ μόνον ὅτι πάντων τῶν προφητῶν ὑπέρτερος, ἀλλὰ καὶ Κύριος καὶ Θεὸς ἐκ Θεοῦ σεσαρκωμένος δι' ἡμᾶς, καὶ καθ' ἑξῆς περί τε τοῦ Εὐαγγελίου καὶ τοῦ νόμου τῶν Σαρακηνῶν.

Ἀλλ' ὅτι μὲν εἷς Θεός, καὶ αὐτὸς ὁ τῶν Σαρακηνῶν νομοθέτης, εἰ καὶ κακῶς, ὁμολογεῖ, καὶ οὐδ' αὐτὸς ἂν ἀρνήσαιο. Ἀπερίγραπτος μέντοι, ἤτοι || οὐ χρόνῳ, οὐ τόπῳ περιγραφόμενος. Ἀκατάληπτος νοΐ· τὸ f 223r
γὰρ καταληπτὸν πόρρω τῆς θείας φύσεως, τῇ δὲ κτιστῇ ὑποπίπτον, ὡς ὑφ' ἑτέρου κυβερνώμενόν τε καὶ συνεχόμενον ἀπεριγράπτου καὶ ἀκαταλήπτου ὡς περιγραπτὸν καὶ καταλαμβανόμενον. Καί γε μάρτυρες ἐπὶ τοῖσδε οἱ προφῆται. Ὁ μὲν γὰρ Δαυῒδ φησίν. «Ἐθαυμαστώθη ἡ γνῶσίς σου ἐξ ἐμοῦ, ἐκραταιώθη, οὐ μὴ δύνωμαι πρὸς αὐτήν. Ποῦ πορευθῶ ἀπὸ τοῦ πνεύματός σου καὶ ἀπὸ τοῦ προσώπου σου ποῦ φύγω; ἐὰν ἀναβῶ εἰς τὸν οὐρανόν, σὺ ἐκεῖ εἶ, ἐὰν καταβῶ εἰς τὸν Ἅδην, πάρει» καὶ τὰ ἑξῆς. Καὶ πάλιν, «ὅτι ἐν τῇ χειρὶ αὐτοῦ τὰ πέρατα τῆς γῆς». Καὶ ὁ Ἡσαΐας, «τίνι ὡμοιώσατε τὸν Κύριον καὶ τίνι ὁμοιώματι ὡμοιώσατε αὐτόν; ὁ κατέχων, φησί, τὸν γύρον τῆς γῆς καὶ τοὺς κατοικοῦντας ἐν αὐτῷ ὡσεὶ ἀκρίδας· ὁ στήσας ὡς καμάραν τὸν οὐρανὸν καὶ διατείνας αὐτὸν ὡσεὶ σκηνὴν κατοικεῖν· ὁ διδοὺς ἄρχοντας εἰς οὐδὲν ἄρχειν, τὴν δὲ γῆν ὡς οὐδὲν ἐποίησε» Καὶ πάλιν. «Ὁ Θεὸς ὁ αἰώνιος, ὁ κατασκευάσας τὰ ἄκρα τῆς γῆς, οὐ πεινάσει οὐδὲ κοπιάσει,

19) ἐν τῇ ᾤᾳ: ὅτι ἀπερίγραπτος ὁ Θεὸς καὶ ἀκατάληπτος 25) Ψαλμ. 138,6—8
30) Ἡσ. 40,22 34) Ἡσ. 40,28.

15) σοιλογισμοὺς] A 18) Σαρρακηνῶν] A

Ε.Υ.Δ της Κ.τ.Ε. ΙΩΑΝΝΙΝΑ 2006

οὐδέ ἔστιν ἐξεύρεσις τῆς φρονήσεως αὐτοῦ». Καὶ αὖθις. «Ὁ οὐρανός μοι θρόνος, ἡ δὲ γῆ ὑποπόδιον τῶν ποδῶν μου». Ἀλλ᾽ οὕτω μὲν οἱ θεοφόροι προφῆται τεθαυμαστῶσθαι φασὶ τὴν περὶ Θεὸν γνῶσιν, εἴτουν κατάληψιν, καὶ ὑπερνικᾶν αὐτῶν τὴν διάνοιαν καὶ οὐδὲν ὁμοίωμα αὐτῷ. Ἀλλὰ καὶ ἀπερίγραπτον διὰ τῶν λεγομένων ἀποδεικνύουσι· τὸ γὰρ τῇ χειρὶ περιδράττεσθαι τῆς γῆς ἁπάσης καὶ θρόνον ἔχειν τὸν οὐρανὸν ὑποπόδιον δὲ τὴν γῆν καὶ ἐν τῷ Ἅδῃ ὅλον παρεῖναι καθ᾽ ἃ δὴ καὶ ἐν τῷ οὐρανῷ, τοῦτο δηλοῖ. Οὐ γὰρ διὰ τῆς χειρὸς καὶ τοῦ θρόνου τὸ περιγραπτὸν ἀποδεικνύουσιν· ἐπεὶ πῶς ἐνδέχεται τὸν τὴν γῆν ἔχοντα ὑποπόδιον, ταύτης τὰ ἄκρα τῇ χειρὶ κατέχειν, ἢ ἐν τῷ Ἅδῃ ὅλον παρεῖναι; ἀλλὰ χεῖρα τροπικῶς τε καὶ συγκαταβατικῶς ἐπὶ Θεοῦ λέγουσι τὴν συνεκτικὴν περὶ τὰ ὄντα πρόνοιάν τε καὶ κυριότητα. Ἐπεὶ ἄλλως οὐκ ἐνεδέχετο τοῖς Ἰουδαίοις διαλεγομένους τοὺς προφήτας
f 223v
τὶ περὶ Θεοῦ εἰπεῖν ὑψηλότερον, εἰ μὴ || τῇ συγκαταβάσει τῶν ῥημάτων ἐκέχρηντο. Καὶ γάρ, ὡς εἴρηται, ἀκατάληπτος ὁ Θεός, καὶ εἰς ἄκρον ἐφικέσθαι τῆς θείας γνώσεως τῶν πάντῃ ἀδυνάτων. Καὶ πῶς γάρ, ὅπου γε οὐδὲ περὶ τῆς ἡμετέρας κατασκευῆς, κράσεώς τε σώματος καὶ πνεύματος δυνάμεθα εἰς τέλος ἐξειπεῖν, μή τοι γε περὶ νοητῶν; Τὸν αὐτὸν οὖν τρόπον νόει καὶ οὐρανὸν μὲν θρόνον, ὡς ὑψηλότερον καὶ τῶν θείων Ἀγγέλων ἐνδιαίτημα, γῆν ὑποπόδιον ὡς ταπεινὴν ἢ τῆς ἐνσάρκου δι᾽ ἡμᾶς οἰκονομίας αὐτοῦ καταγώγιον. Ἀλλ᾽ ὁ Μωάμεθ, τοσοῦτον πεπώρωται τῇ διανοίᾳ, ὡς καὶ τῶν Ἀγγέλων ἐλάττονα νομίζειν, εἴπερ Ἄγγελος κατ᾽ αὐτὸν μυριάκις παντὸς τοῦ κόσμου μείζων, ὁ δὲ Θεὸς σφαιρικὸς ἢ καὶ ἀνθρωποειδὴς καὶ ψυχρότατος, ὡς καὶ τὴν χεῖρα ἐπιτιθέντας αὐτῷ ἐν τῷ ἀνελθεῖν εἰς τὸν οὐρανὸν μέχρι νωτιαίου μυελοῦ διαβῆναι τὴν ψυχρότητα. Οὐ μόνον δέ, ἀλλὰ καὶ παντὸς κακοῦ ὥσπερ δῆτα καὶ ἀγαθοῦ τὸν Θεὸν ἀποφαίνεται αἴτιον, ὥστε καὶ βουλόμενον χώραν ἀπολέσαι, εἰς ἀνομίας ἐπιτρέπειν, καὶ τῶν ἀνθρώπων ἁπάντων μιᾶς αἱρέσεως καὶ θρησκείας ὄντων πρότερον αὐτὸν εἰς διαφόρους ἐμβαλεῖν, διαφόρους προφήτας ἐξαποστείλαντα. Τὸ δὲ ταῦθ᾽ οὕτω νομίζειν, πόσης ἀνοίας καὶ βλασφημίας, μᾶλλον δὲ συμφορᾶς καὶ ὀργῆς; Καὶ γάρ, ὡς ἔοικε, διὰ τοῦτο τὸν κόσμον τόνδε παρήγαγεν, ἵνα κακὸς καὶ πονηρὸς ἐν τοῖς δημιουργήμασιν δείκνυται, καὶ ὡς παίζων, ἀλόγως παράγων καὶ φθείρων. Ἐπεὶ καὶ τοῦτο δοκεῖ τῷ θαυμαστῷ προφήτῃ.

Ἀλλ᾽ ἡμεῖς γε παρὰ τῶν ἀληθινῶν προφητῶν δίκαιόν τε καὶ ἀγαθὸν τὸν Θεὸν μανθάνομεν καὶ τοσούτῳ μᾶλλον, ὥστε καὶ τὸν Υἱὸν

¹) Ἡσ. 66,1 ³⁶) ἐν τῇ ᾤᾳ: ὅτι τῶν καλῶν μόνον ὁ Θεὸς αἴτιος.

Ε.Υ.Δ. Κ.τ.Π. ΙΩΑΝΝΙΝΑ 2006

αὐτοῦ τὸν μονογενῆ τὴν ἡμετέραν ἀσθένειαν ἀναλαβεῖν, ὡς μετέπειτα δειχθήσεται. Ἀλλ' ὅτι οὐκ ἐκ Θεοῦ τὰ κακά, εἰ μὴ κατὰ παραχώρησιν, ἄκουσον τοῦ Προφήτου Ἰεζεκιὴλ λέγοντος. «Διότι οὐ θέλω τὸν θάνατον τοῦ ἀποθνήσκοντος, λέγει Κύριος». || Καὶ πάλιν, «Ζῶ ἐγὼ f 224r Ἀδωναῒ λέγει Κύριος· οὐ βούλομαι τὸν θάνατον τοῦ ἀσεβοῦς, ὡς τὸ ἀποστρέψαι τὸν ἀσεβῆ ἀπὸ τῆς ὁδοῦ αὐτοῦ καὶ ζῆν αὐτόν»· καὶ ἐπάγει. «Ἀποστράφητε ἀπὸ τῆς ὁδοῦ ὑμῶν τῆς πονηρᾶς· καὶ ἵνα τὶ ἀποθνήσκετε οἶκος Ἰσραήλ». Καὶ ὁ Ὡσηέ. «Διότι ἔλεον θέλω καὶ οὐ θυσίαν, καὶ ἐπίγνωσιν Θεοῦ ἢ ὁλοκαυτώματα». Ὁ δὲ σοφώτατος Σιρὰχ φησί. «Μὴ εἴπῃς ὅτι διὰ Κυρίου ἀπέστην· ἃ γὰρ ἐμίσησεν, οὐ ποιήσεις· μὴ εἴπῃς, ὅτι αὐτός με ἐπλάνησεν· οὐ γὰρ χρείαν ἔχει ἀνθρώπου ἁμαρτωλοῦ. Πᾶν βδέλυγμα ἐμίσησεν ὁ Κύριος, καὶ οὐκ ἔστιν ἀγαπητὸν τοῖςφο βουμένοις αὐτόν. Αὐτὸς ἐξ ἀρχῆς ἐποίησεν ἄνθρωπον, καὶ ἀφῆκεν αὐτὸν ἐν χειρὶ διαβουλίου αὐτοῦ· παρέθηκέ σοι πῦρ καὶ ὕδωρ, οὗ ἐὰν θέλῃς ἐκτενεῖς τὴν χεῖρά σου· ἔναντι ἀνθρώπων ἡ ζωὴ καὶ ὁ θάνατος, καὶ ὃ ἐὰν εὐδοκήσῃ, δοθήσεται αὐτῷ». Σαφῶς ἄρ' οὗτοι ἡμῖν ἔδειξαν, ὅτι ὁ Θεὸς τὸν ἄνθρωπον κατ' ἀρχὰς δημιουργήσας, αὐτεξουσιότητι ἐτίμησε, νόμον αὐτῷ δεδωκώς, ἵνα παρ' ἑαυτοῦ ἔχῃ τό τε ἀγαθὸν καὶ τοὐναντίον, καὶ μὴ ὡς τὰ ἄλογα ζῷα φέροιτο, καὶ ὅτι ὁ Θεὸς τοὺς ἀγαθοποιοῦντας ἀγαπᾷ καὶ συνεργεῖ αὐτοῖς εἰς τὸ ἀγαθόν. Οὐ μὴν δὲ τοῖς τἀναντία πράττουσι συνευδοκεῖ. Ἀλλὰ καὶ αὐτὸς ὁ Μωάμεθ διδάσκει προσεύχεσθαι, ἵνα ὁδηγοῖντο καὶ ἐξάγοιντο ἐκ σκότους εἰς τὸ φῶς καὶ ἐκ τῆς ἀνοδίας εἰς τὴν εὐθύτητα. Οὕτω τε ἀγαθώτατος ὢν ὁ Θεός, πάντας τε καλῶν πρὸς σωτηρίαν καὶ τὰς δεήσεις τῶν ἐπιστρεφόντων πρὸς αὐτὸν ἐν κατανύξει δεχόμενος, οὐ χάριν παιδιᾶς τόν τε ὁρατὸν καὶ ἀόρατον κόσμον ἐποίησεν, ὡς ὁ Μωάμεθ ἀθυροστομεῖ, ἀλλὰ διὰ τὴν οἰκείαν ἀγαθότητα, ἵνα πλείονα ἦ τὰ εὐεργετούμενα παρ' αὐτοῦ. Ἐποίησε δὲ οὐρανὸν μὲν καὶ γῆν, ὕδατα, πῦρ τε καὶ πνεύματα καὶ τοὺς φωστῆρας ἐκ μὴ ὄντων, φυτὰ δὲ χλόην καὶ ὅσα κινεῖται ἐπὶ γῆς ἐξ αὐτῆς παρήγαγε, πετεινὰ δέ, τὰ μὲν ἐξ αὐτῆς, τὰ δὲ ἐκ τῶν ὑδάτων, ἐξ ὑδάτων τε ὅσα ἐν αὐτοῖς ἔχει τὴν || δίαιταν· καὶ σχεδὸν f 224v ὅσα μὲν τῇ πρώτῃ ἡμέρᾳ παρήγαγεν, ἐκ μὴ ὄντων παρήγαγεν, ὅσα δὲ ταῖς λοιπαῖς, ἐκ τῶν πρώτως αὐτῷ δημιουργηθέντων. Τὸν δὲ ἄνθρωπον ὕστατον δημιουργήσας, μικτὸν ἔκ τε ὁρατῆς καὶ ἀοράτου φύσεως κατεσκεύασε, σῶμα μὲν δημιουργήσας ἐκ χοός, πνεῦμα δὲ διὰ

³) Ἰεζ. 18,32 ⁴) Ἰεζ. 38,1 ⁷) Ἰεζ. 18,31 ⁸) Ὠσ. 6,7 ¹⁰) Σοφ. Σειρ. 15,14

Ε.Σ.Α της Κ.ΕΙ ΙΩΑΝΝΙΝΑ 2006

τοῦ Ἁγίου αὐτοῦ καὶ τελεσιουργοῦ Πνεύματος παρασχών. Τοῦτο γὰρ βούλεται τὸ ἐμπνεῦσαι εἰς αὐτὸν πνοὴν ζωῆς.

Ἀλλ᾽ ὅτι διὰ τοῦ Λόγου αὐτοῦ καὶ τοῦ Πνεύματος τὰ πάντα παρήγαγε, περιττὸν ἀρτίως ἡγοῦμαι καταλέγειν τῆς Γραφῆς, πάσης παλαιᾶς τε καὶ νέας τοῦτο μαρτυρούσης. Οὐδὲ γὰρ εἰκὸς τὸν Θεὸν ἀλόγως δημιουργεῖν καὶ ἀπνεύστως, ἵνα μὴ πλάνη μᾶλλον καὶ ἀνυπαρξία ἢ Θεὸς φαντασθῇ. Λόγον δὲ καὶ Πνεῦμα ἔχων ὁ Θεός, οὐχ ὡς ἡμεῖς ἔχει, εἰ καὶ κατ᾽ εἰκόνα ἡμεῖς αὐτοῦ ἐδημιουργήθημεν, ἀλλ᾽ ἄφθαρτος ὢν καὶ ἀπερίγραπτος, Λόγον ἐνυπόστατον ἔχει καὶ Πνεῦμα ἐν ἑαυτῷ ἀδιαστάτως. Καὶ τοῦτο δηλοῦσα ἡ Γραφὴ πληθυντικῶς παράγει τὸν Θεὸν λέγοντα· «ποιήσωμεν ἄνθρωπον κατ᾽ εἰκόνα ἡμετέραν καὶ καθ᾽ ὁμοίωσιν». Καὶ πάλιν· «γέγονεν Ἀδὰμ ὡς εἷς ἐξ ἡμῶν», ἤτοι ἑαυτῷ τὴν ἐξουσίαν καὶ τὰ κατ᾽ αὐτὸν ἐπέτρεψεν. Εἴτε γοῦν τοῦτο, εἴτέ τι ἕτερον δηλοῖ αὐτό τε τὸ «εἷς ἐξ ἡμῶν» καὶ τὸ «ποιήσωμεν», διαφορὰν προσώπων δηλοῖ ταὐτοδυνάμων. Καὶ τὸ παρὰ τῶν Σεραφὶμ δὲ ᾀδόμενον «ἅγιος, ἅγιος, ἅγιος Κύριος», τοῦτο βούλεται. Καὶ αὐτὸς δὲ ὁ Μαχούμετ, εἰ καὶ ἀλόγως, ἀλλ᾽ οὖν μιμούμενος πολλαχοῦ παράγει τὸν Θεὸν ὡς ἐκ πολλῶν διαλεγόμενον, ὡς ἐν τῷ κεφαλαίῳ τῷ «ἠλιμπακεράμ» καὶ τοῖς ἑξῆς. Καὶ ἐν παντὶ δὲ τῷ Κοράν, ἤτοι τῷ παρ᾽ αὐτοῦ ἐκτεθέντι νόμῳ, τοῦ Λόγου τοῦ Θεοῦ καὶ τοῦ Πνεύματος μέμνηται. Φησὶ γὰρ ἐν κεφαλαίῳ τῷ ἐλιμπακεράμ ἐκ προσώπου τοῦ Θεοῦ. «Ἐδώκαμεν τῷ Ἰησοῦ τῷ υἱῷ τῆς Μαρίας ποιεῖν τέρατα καὶ θαύματα φανερὰ καὶ ἐτελειώ-
f 225r σαμεν αὐτὸν || διὰ Πνεύματος Ἁγίου». Καὶ τοῦτο διὰ παντὸς ἐπαναλαμβάνει τοῦ κεφαλαίου. Ἐν δὲ τῷ κεφαλαίῳ τῷ «ἀμρὰν» φησίν. «Ὡς εἶπον οἱ Ἄγγελοι τῇ μακαρίᾳ Μαρίᾳ· ὦ Μαρία, εὐαγγελίζεταί σοι ὁ Θεὸς ἢ ἀναγγέλλει σοι τὸν Λόγον αὐτοῦ, καὶ τὸ ὄνομα αὐτοῦ Χριστὸς Ἰησοῦς». Καὶ ἐν τῷ κεφαλαίῳ τῷ «ἐλνεσά» φησίν. «Ὦ ἑταιρεία τῆς βίβλου, ἤτοι τοῦ νόμου, ἀκόλουθος, μὴ εἴπητε περὶ Θεοῦ πλὴν τῆς ἀληθείας ὅτι ὁ Χριστὸς Ἰησοῦς ὁ υἱὸς τῆς Μαρίας ἀπόστολός ἐστι τοῦ Θεοῦ καὶ Λόγος τοῦ Θεοῦ, ὃν αὐτὸς ἔθηκεν ἐν αὐτῇ διὰ Πνεύματος Ἁγίου». Καὶ περὶ τῆς Μαρίας ἐν κεφαλαίῳ τῷ «ἐλμπιά», «ἐνεφυσήσαμεν εἰς αὐτὴν ἐκ τοῦ Πνεύματος τοῦ Ἁγίου». Εἰ οὖν Λόγος Θεοῦ ὁ Χριστός, πῶς οὐ Θεὸς ὁ ἐκ Θεοῦ, ἢ τὸ Πνεῦμα; Ἀλλὰ δέδοικας τὴν πολυθεΐαν; Ἀλλὰ Θεὸν μὲν ἕκαστον λέγομεν διὰ τὸ τέλειον τῶν ὑποστάσεων, ὅταν ἓν τούτων ἐξαγγέλλωμεν· οὐ τρεῖς δὲ Θεούς, ἀλλ᾽ ἕνα τὰ τρία ὅταν κοινῶς. Οὐ γὰρ διαιρεῖται ἡ Τριάς, ἀπερίγραπτος οὖσα διὰ τὴν ἀλληλουχίαν, εἰ καὶ τὰ ἰδιώματα τῶν ὑποστάσεων

³) ἐν τῇ φφ: περὶ Τριάδος ¹¹) Γεν. 1,26 ¹²) Γεν. 3.22.

ἐν αὐτῇ διαφέρουσι τῇ ὑπάρξει. Χρὴ γὰρ καὶ τὴν εἰς μίαν φύσιν καὶ ἐνέργειαν τῶν ὑποστάσεων οὐκ ἐναντίαν διαφορὰν φυλάττεσθαι καὶ τὴν φύσιν ταῖς ὑποστάσεσι χαρακτηρίζεσθαι. Οὐ γὰρ ὁ Λόγος καὶ τὸ Πνεῦμα μάχεται τῷ τούτων αἰτίῳ· ἐπεὶ οὐδὲ τῷ ἀνθρωπίνῳ νοΐ ὁ λόγος καὶ τὸ πνεῦμα, καίτοι γε πολλὴ καὶ ἀσύγκριτος ἡ διαφορὰ ἀνθρωπείου καὶ θείου νοός, εἰ καὶ πως ὁ κατ' εἰκόνα τῷ πρωτουργῷ παραμιλλᾶται νοῶν.

Ἀλλ' ὅτι υἱὸς ὁ Λόγος, ἀνθρώπινον πάσχεις καὶ τὴν θείαν φύσιν ῥευστὴν ἐν τούτῳ ὑπολαμβάνεις; Ἀλλ' ἄρρητος καὶ ἀπαθὴς ἡ γέννησις· φῶς γὰρ ἐκ φωτός. Πῶς δέ, οὐ γινώσκομεν· μηδὲ γὰρ οὕτω μανείημεν, ὥστε τὴν θεογονίαν ἐρευνᾶν, ἀλλὰ στέργειν μόνον χρὴ τοῖς ὑπὸ τῶν θείων ὑποφητῶν θείᾳ ἐνεργείᾳ πάντως ἐκπεφρασμένοις, ὡς ὑπὸ πλείστων θαυμάτων τε καὶ σημείων κεκυρωμένοις. Εἰ δὲ καὶ κατὰ τὴν Γραφὴν υἱοὶ Θεοῦ καὶ θεοὶ πρὸς οὓς ὁ τοῦ Θεοῦ Λόγος ἐγένετο, πολλῷ μᾶλλον ὁ ἐκ Θεοῦ καὶ ἐν Θεῷ Λόγος, ὡς αὐτὸς τοῖς Ἰουδαίοις ἀπελογήσατο. Εἰ δ' οὕτως ἔξω φρενῶν πέπτωκας, ὥστε κατὰ χάριν καὶ τοῦτον νομίζειν υἱὸν ὀνομάζεσθαι ὡς ἕνα ἡμῶν, πῶς ‖ μονογενής; f 225v Φησὶ γὰρ ὁ εὐαγγελιστὴς Ἰωάννης. «Θεὸν οὐδεὶς ἑώρακεν πώποτε· ὁ μονογενὴς υἱός, ὁ ὢν εἰς τὸν κόλπον τοῦ πατρὸς ἐκεῖνος ἐξηγήσατο». Καὶ πάλιν. «Οὕτως ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν υἱόν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται ἀλλ' ἔχῃ ζωὴν αἰώνιον. Οὐ γὰρ ἀπέστειλεν ὁ Θεὸς τὸν υἱὸν αὐτοῦ εἰς τὸν κόσμον ἵνα κρίνῃ τὸν κόσμον, ἀλλ' ἵνα σωθῇ ὁ κόσμος δι' αὐτοῦ. Ὁ πιστεύων εἰς αὐτὸν οὐ κρίνεται, ὁ δὲ μὴ πιστεύων ἤδη κέκριται, ὅτι μὴ πεπίστευκεν εἰς τὸ ὄνομα τοῦ μονογενοῦς υἱοῦ τοῦ Θεοῦ». Πῶς ἐπείπερ Πατέρα τὸν Θεὸν ὁ Λόγος κατὰ χάριν ἔχει, ἡμῖν μὲν εὐχομένοις πρὸς αὐτόν, «Πάτερ ἡμῶν» παρηγγυήσατο κράζειν, ἐκεῖνος δὲ ἰδίως Πατέρα καλεῖ λέγων, «Πάτερ δόξασόν σου τὸν υἱόν, ἵνα καὶ ὁ υἱός σου δοξάσῃ σε»· καὶ πρὸς τὸν Πέτρον «μακάριος εἶ, Σίμων βὰρ Ἰωνᾶ, ὅτι σὰρξ καὶ αἷμα οὐκ ἀπεκάλυψέ σοι, ἀλλ' ὁ Πατήρ μου ὁ ἐν τοῖς οὐρανοῖς», περὶ τῆς υἱότητος λέγων; Εἰ κατὰ χάριν υἱός, πῶς ἐν τῇ δόξῃ τοῦ Πατρὸς μέλλει ἔρχεσθαι μετὰ τῶν ἀγγέλων αὐτοῦ; Πῶς δὲ καὶ περὶ τῆς παρουσίας αὐτοῦ φησιν, «ὅταν ἴδητε ταῦτα γινόμενα γινώσκετε, ὅτι ἐγγὺς ἐστιν ἡ βασιλεία τοῦ Θεοῦ»; Πῶς ὁ κόσμος δι' αὐτοῦ ἐγένετο; Πῶς γινώσκει τὸν Πατέρα, καθὼς

8) ἐν τῇ φα : ὅτι μονογενὴς καὶ φύσει υἱὸς ὁ Λόγος 18) Ἰωάν. 1,18 20) αὐτ. 3,16 23) Ἰωάν. 17,1 29) Ματθ. 16,17 33) Λουκ. 21,31

21) μὴ ἀπώλληται ἀλλ' ἔχει ζωὴν J A

Ε.Υ.Δ της Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

αὐτὸς παρὰ τοῦ Πατρὸς γινώσκεται, εἰ καὶ τὸ ἐλάχιστον οἰκονομικῶς ποτε οὐ γινώσκει; Πῶς αὐτὸς καὶ ὁ Πατὴρ ἕν εἰσι; Πῶς ἐν τῷ ὀνόματι αὐτοῦ πέμπει τὸ Πνεῦμα τὸ Ἅγιον ὁ Πατήρ; Πῶς αὐτὸς τοῦτο πέμπει παρὰ τοῦ Πατρός; Πῶς κύριος τοῦ Δαυΐδ, ναὶ μὴν καὶ τοῦ Σαββάτου, βασιλεὺς δὲ Σιών; Πῶς οὐχὶ καί τις τῶν προφητῶν ἕτερος Λόγος Θεοῦ ἢ Υἱὸς ἰδίως ἐκλήθη ἢ Κύριος; Καὶ πῶς περὶ αὐτοῦ μὲν λέγεται «εὐλογημένος ὁ ἐρχόμενος ἐν ὀνόματι Κυρίου», περὶ δὲ τῆς μητρὸς αὐτοῦ «εὐλογημένη σὺ ἐν γυναιξίν»;

Ἀλλὰ τῇ σαρκώσει προσκόπτεις; τοῦτο καὶ Ἰουδαῖοι. Οὐδὲ γὰρ αἰσχρὸν ἡ σάρκωσις, μεσιτευούσης νοερᾶς ψυχῆς σαρκὶ καὶ θεότητι.
f 226r Νουνεχῶς δὲ τῶν λεχθησομένων ἄκουε. || Ἐπειδὴ φθόνῳ διαβόλου ὁ ἄνθρωπος τῆς θείας ἐντολῆς παραβάτης γενόμενος τῆς μακαρίας διαγωγῆς ἐξέπεσεν, εἰς τὴν ἐμπαθῆ δὲ ταύτην ἐξολισθείσας κατ᾽ ὀλίγον εἰς μυρίας ἦλθεν ἀνομίας, οὔτε δὲ σημεῖα, οὔτε νόμος, οὔτε προφῆται τῆς ἁμαρτίας ἐξελέσθαι ἴσχυσαν, αὐτὸς ὁ τοῦ Θεοῦ Λόγος, ὁ ὢν ἐν τοῖς ἀπεριγράπτοις κόλποις τοῦ Πατρὸς μονογενὴς Υἱός, πατρικῇ εὐδοκίᾳ καὶ συνεργίᾳ τοῦ Ἁγίου Πνεύματος ἐν τῇ μήτρᾳ τῆς ἁγίας Παρθένου κατελθὼν προσέλαβεν ἐξ αὐτῆς, ὡς οἶδεν αὐτός, σάρκα ἔμψυχον, οὐκ ἐκ μὴ ὄντος ταύτην παραγαγών, ἐκ δὲ τῶν παρθενικῶν ἁγνῶν αἱμάτων ἀρρήτως καὶ ἀνερμηνεύτως πηξάμενος, καὶ κατὰ τοῦτο ὅμοιος ἡμῖν γέγονεν ἄνευ ἁμαρτίας. Ἄνευ δὲ θελήματος ἀνδρὸς ἡ σάρκωσις, ἵνα μὴ συνεργία ᾖ ἀνθρωπίνη. Οὐδὲ γὰρ συνεργίᾳ τῆς Παρθένου, εἴποι τις ἄν, σαρκωθῆναι τὸν Λόγον, εἰ μὴ τῇ συννεύσει· πάντα γὰρ τῷ θείῳ βουλήματι ῥᾴδια. Καὶ μὴ δίσταζε, εἰς νοῦν λαμβάνων πῶς ἐξ ἀρχῆς ἡ γῆ τὸν ἄνθρωπον ἐξήγαγεν. Ἐπεὶ γὰρ ὁ τότε γενόμενος ἄνθρωπος διαμαρτήσας, τῶν οὐρανίων ἀγαθῶν ἐκπέπτωκε πρὸς τοῖς ληφθεῖσι, διὰ τοῦτο γεννήσεως ἑτέρας ἐδεήθημεν, οὐκ ἐξ ἡδονῆς τῆς μετὰ τὴν ἁμαρτίαν ἐχούσης τὴν ἀφορμήν, ἵνα τῶν ἐπηγγελμένων ἀγαθῶν τύχωμεν. Διὰ γοῦν τὴν ἡμετέραν ἀνάγκην, οἰκείαν δὲ φιλανθρωπίαν ὁ Κύριος λαμβάνει τὴν ἡμετέραν φύσιν γεννηθεὶς ἐκ τῆς ἁγίας Θεοτόκου κατὰ φύσιν μέν, ἐπείπερ ὡς ἡμεῖς προελήλυθε, μετὰ τὸν ἐνναμηναῖον χρόνον, ὑπὲρ φύσιν δέ, ὅτι ἀφθόρως, φυλάξας παρθένον τὴν τετοκυῖαν. Καὶ τοῦτο τινὲς βουλόμενοι πνευματικῶς εἶπον γεννῆσαι τὴν Θεοτόκον, ἤτοι ἀφθόρως καὶ ἀνερμηνεύτως. Καὶ πιστούτω σοι τόδε βάτος καιομένη καὶ μὴ καταφλεγομένη, θάλασσά τε σχιζομένη καὶ μὴ διαιρουμένη καὶ ῥάβδος ἀαρωνίτις ἀνθήσασα καὶ ὅσα τοιαῦτα.
f 226v Μαρίαν δὲ λέγομεν γεννῆσαι τὸν || Κύριον, τὴν ἐκ γένους Δαυῒδ με-

[7]) **Ματθ. 21,9** [8]) **Λουκ. 1,28** [9]) **ἐν τῇ ᾤᾳ: περὶ τῆς θείας σαρκώσεως.**

ΙΩΑΝΝΙΝΑ 2006

μνηστευμένην Ἰωσήφ, οὐ Μαρίαν τὴν ἀδελφὴν Μωσέως, ὥς ὁ Μωάμεθ κενολογεῖ. Ἐκείνη γὰρ πρὸ τοῦ Δαυῒδ ἐν τῇ ἐρήμῳ ἀπέθανε μετὰ τῶν λοιπῶν Ἰσραηλιτῶν ἐξελθοῦσα τῆς Αἰγύπτου πρὸ χιλίων ἐτῶν καὶ ἑξακοσίων ταύτης τῆς Θεοτόκου Μαρίας.

Γεννηθεὶς οὖν ὁ Χριστὸς ἐκ τῆς ἀειπαρθένου Θεὸς καὶ ἄνθρωπος ἐν μιᾷ ὑποστάσει ἀδιαιρέτως καὶ ἀσυγχύτως, τῇ τε ἡλικίᾳ προκόπτων καὶ τῇ θείᾳ χάριτι παρὰ πάντων ὑπερθαυμαζόμενος, τά τε νόμιμα πάντα πληρώσας, ἵνα τοῖς μὲν Ἰουδαίοις ἀντίθεος μὴ δόξῃ, τοῖς δ' ἀπίστοις δείξῃ ὅτι καὶ ὁ παλαιὸς νόμος ἅγιος καὶ καλὸς ἐν καιρῷ αὐτοῦ τελούμενος, οὕτως ἐπὶ τὸ βάπτισμα ἔρχεται τριακοντούτης, οὐχ ὡς αὐτὸς χρήζων καθάρσεως, ἀναμάρτητος γάρ, ἀλλὰ τὴν τοῦ προπάτορος ἁμαρτίαν καθαιρόμενος ἐν τῷ ὕδατι ὁ δεύτερος Ἀδὰμ καὶ τῆς ἡμετέρας ἀναγεννήσεως ἀρχηγός. Καὶ βαπτισθεὶς ἐντεῦθεν ἄρχεται τῆς καινῆς καὶ πλήρους νομοθεσίας, ἐάσας τοῦ εἰσαγωγικοῦ νόμου τὰ ἔθιμα ὡς στοιχειώδη καὶ τοῖς τῇ σκιᾷ δουλεύουσιν ἔτι ἀτελεστέροις ἴδια. Οὐδὲ γὰρ ἐχρῆν τῆς ἀληθείας ἐλθούσης, ἔτι τῷ τύπῳ καὶ τῇ σκιᾷ προσανέχειν, καὶ τοῦ τελείου τὸ ἀτελὲς προτιμᾶν. Τὸ γὰρ τέλειον ἀγαθόν, πάντοτε κρεῖττον. Ὅτι δὲ τελείους ἐβούλετο ἡμᾶς ἐξ ἀρχῆς ὁ νομοδότης εἶναι, φαίνεται πολλαχοῦ, ἔν τε τῷ Ἱερεμίᾳ καὶ ἑτέροις προφήταις, παραιτούμενος τὰς θυσίας τῶν Ἰουδαίων· ὥστε συγκαταβαίνων τῇ τούτων ἀσθενείᾳ ταύτας συνεχώρησεν, ὥσπερ καὶ βασιλέα χειροτονῆσαι τούτοις συνεχώρησεν, ὅπερ τοῖς τότε ἔθνεσιν ἴδιον. Ἀλλ' ἴσως ἐρεῖς, ἐπείπερ οὔτε νόμος οὔτε προφῆται τελείως ἴσχυσαν ἐξελέσθαι τῆς πλάνης τὸν ἄνθρωπον, τοῦ Λόγου δὲ ἡ σάρκωσις τὸ πᾶν ἐξετέλεσε, διατὶ μὴ τὰ πρῶτα οὐκ ἐγένετο, τὰ ὕστερον δέ, ἵνα σοι πᾶσα πρόφασις ἀρθῇ || προσκόπτοντι τῇ σαρκώσει. Εἰ γὰρ f 227r μετὰ τὸν παιδαγωγὸν νόμον προσκόπτεις, τίς ἂν ἐγένου τούτου χωρίς;

Ἀλλ' οὕτω πράττων τε καὶ διδάσκων τὴν καινὴν νομοθεσίαν ὁ Κύριος, θαύματά τε πλεῖστα κατεργαζόμενος, ὡς τὸ Εὐαγγέλιον καὶ αὐτὸς ὁ Μωάμεθ ἐν κεφαλαίῳ τῷ «ἐλμαϊδᾶ» μαρτυρεῖ, ζηλοτυπεῖται ὑπὸ τῶν ἀρχόντων τῶν Ἰουδαίων καὶ Πιλάτῳ παραδίδοται εἰς ἀναίρεσιν, ὅτι τε ἑαυτὸν υἱὸν Θεοῦ ἔλεγε καὶ βασιλέα, καὶ τὰ νόμιμα, ὡς ἐδόκουν, ἔλυεν. Ἠνέσχετο δὲ ὁ Κύριος ὑπεραποθανεῖν τῆς ἀληθείας, εἰ καὶ ἀνεύθυνος. Ἐπεὶ καὶ διὰ τοῦτο σαρκὸς ἡμῖν ἐκοινώνησεν, ἡμᾶς παραθαρρύνων τὰ ὅμοια ποιεῖν, καὶ ἵνα τὴν ἀνάστασιν ἐγκαινίσηται.

[5]) ἐν τῇ ᾤᾳ: περὶ τῆς τοῦ νόμου πληρώσεως. [25]) ἐν τῇ κάτω ᾤᾳ: ἀντὶ τοῦ διατὶ γέγονε τὰ πρῶτα καὶ οὐχὶ τὰ ὕστερον. [29]) ἐν τῇ ᾤᾳ: περὶ σταυροῦ καὶ ἀναστάσεως.

Εἰ καὶ ὁ Μωάμεθ εὐλαβούμενος δῆθεν αὐτὸν μὲν τὸν Χριστὸν φησιν εἰς οὐρανοὺς ἀναληφθῆναι, ἕτερον δὲ ἀντ' αὐτοῦ σταυρωθῆναι, ἡμεῖς ἐκ τῶν ἱερῶν εὐαγγελίων μανθάνομεν αὐτὸν τὸν Χριστὸν σταυρωθῆναι καὶ ταφέντα ἀναστῆναι. Καὶ ὅρα ὅπως ὁ μὲν Σατανᾶς ἦν ἐμποδίζων τὴν οἰκονομίαν, ποιῶν τοὺς Ἰουδαίους ταύτῃ προσκόπτειν, ὁ δὲ Κύριος πάντα εἰς πέρας ἄγει χρηστόν. Διὰ γὰρ θανάτου ἀνάστασις· καὶ ὅτι διὰ σταυροῦ, μᾶλλον ἐπισημοτέρα· Οὐ γὰρ εἴπερ ἰδίῳ θανάτῳ ἀπέθανεν ἄν, οὕτως ἔνδοξος ἡ ἀνάστασις· οὐδ' ἂν οὕτω θάνατος κατεφρονήθη ὑπὸ τῶν χριστιανῶν, ἀκουόντων τοῦ ἀποστόλου Πέτρου λέγοντος, «Χριστὸς ἔπαθεν ὑπὲρ ἡμῶν, ἡμῖν ὑπολιμπάνων ὑπογραμμόν, ἵνα ἐπακολουθήσητε τοῖς ἴχνεσιν αὐτοῦ». Καὶ πάλιν, «Χριστοῦ οὖν παθόντος ὑπὲρ ἡμῶν σαρκί, καὶ ὑμεῖς τὴν αὐτὴν ἔννοιαν ὁπλίσασθε». Καίτοι εἴποι τις ἄν, ὅτι ἐνεδέχετο τὴν ἀνάστασιν καὶ ἐν ἑτέρῳ δεῖξαι, ὡς καὶ ἐπὶ τῷ Λαζάρῳ ἐποίησε, καὶ μὴ αὐτὸν ἀποθανεῖν ἀδίκως καὶ τοὺς σταυρώσαντας ὑπευθύνους τῷ θανάτῳ αὐτοῦ ποιῆσαι. Ἀλλ' οὐκ ἦν ἐπ' ἀνθρώπῳ ἁμαρτωλῷ θάνατον καταργηθῆναι, ἐνόχῳ ὄντι θανάτου, εἰ καὶ μὴ δι' ἄλλο τι, ἀλλ' οὖν διὰ τὴν προγονικὴν ἁμαρτίαν. Καὶ γὰρ εἰ καὶ ἀνέστησάν τινες, ἀλλ' αὖθις ἀπέθανον· Χριστὸς δὲ οὔτε ἁμαρτίαν ἐποίησεν, οὔτε τῇ ἁμαρτίᾳ τοῦ Ἀδὰμ ὑπέκειτο, καταργήσας καὶ τὴν ταύτης αἰτίαν, ἥτις ἐστὶν ἡδονή, καὶ τὸ σαρκικὸν θέλημα οὐ μόνον ἐν τῇ συλλήψει αὐτοῦ, ἀλλὰ καὶ μετὰ ταῦτα. Ἐντεῦθεν οὖν ἀδίκως λαβὼν αὐτὸν ὁ θάνατος, συναπέδωκε καὶ τοὺς πρότερον καταποθέντας διὰ τὴν ἁμαρτίαν, ὥσπερ εἴσπραξιν παθὼν τοῦ τολμήματος, καὶ οὕτω δικαίως ἐλύθη ἡ τούτου τυραννίς. Τοὺς δὲ Ἰουδαίους οὐκ αἰτίους πεποίηκεν ὁ Κύριος τοῦ θανάτου αὐτοῦ· οὐδὲ γὰρ ἐπέτρεψεν αὐτοῖς τοῦτο, μᾶλλον δὲ καὶ διήλεγχε φονῶντας. Οὐχ οὗτος ἄρα εἰς τοῦτο ἠνάγκασεν, ἀλλ' ἡ αὐτῶν κακία. Οὗτος γὰρ διὰ τὴν τῆς σωτηρίας ἡμῶν ἀνάγκην, ἑαυτοῦ δὲ ἀγαθότητα πάντα ἦν πραγματευόμενος, ἐκεῖνοι δε φθόνῳ ἑκόντες τὴν ζωὴν ἠρνήσαντο, καὶ οὐ μόνον μέχρι τούτου τὴν κακίαν ἔστησαν, ἀλλὰ καὶ τὴν ἀνάστασιν συκοφαντῆσαι ἐπεχείρησαν, καὶ τοὺς μαθητὰς δι' αὐτὸν μυρίαις κακώσεσιν ἐνέβαλον καὶ μετανοίας εἰς τὸ ἑξῆς αὐτοῖς οὐκ ἐμελήθη μέχρι τοῦ δεῦρο. Οὐ μικρὸν δὲ καὶ τοῦτο τῆς ἀναστάσεως τεκμήριον, ὅτι ἅπαντες οἱ μαθηταὶ αὐτοῦ μετὰ μυρίας κακώσεις ὑπὲρ ταύτης ἀπέθανον. Τίς γὰρ οἶδέ ποτέ τινα ὑπὲρ ψεύδους ἀνωφελοῦς ἐφιέμενον ἀποθανεῖν; Καὶ ταῦτα οὐ προσγενεῖς ὄντες τῷ Χριστῷ οἱ μαθηταί, οὔτε

[10]) Α' Πέτρ. 2, 21. [11]) Α' Πέτρ. 4. 1.

Ε.Υ.Δ.τ.ρ.Κ.τ.Π ΙΩΑΝΝΙΝΑ 2006

τιμῆς ποτέ τινος ἢ ἀναπαύσεως ὑπὲρ τούτου ὑπὸ τῶν Ἰουδαίων ἀπολαύσαντες, καὶ οὔτε ἅμα οὔτε ἑνὶ ἔθνει κηρύξαντες ἀλλ' εἰς ἅπαντα διαιρεθέντες. Καὶ οὐ μόνον οὗτοι ὑπερεκινδύνευσαν αὐτοῦ, ἀλλὰ καὶ οἱ μὴ ἰδόντες αὐτόν, ἔσθ' ὅτε καὶ διώκται, διότι ᾔδεισαν αὐτὸν ἀληθῶς ἐκ νεκρῶν ἀναστάντα καὶ εἰς οὐρανοὺς ἀναληφθέντα καὶ πάλιν ἐρχόμενον μετὰ δόξης κρῖναι ζῶντας καὶ νεκροὺς καὶ εἰς τὸν αἰῶνα ὄντα· φησὶ γὰρ ὁ Δαυΐδ, «εἰς τὸν αἰῶνα Κύριε ὁ λόγος σου διαμένει ἐν τῷ οὐρανῷ», εἰ καὶ ὁ Μαχούμετ καὶ τούτου σὺν τοῖς λοιποῖς τέλος νομίζει ἀνοήτως. ‖ Κἂν γοῦν ἐν Χριστιανοῖς ἔτι καταλογίζῃ κἂν τοῖς Σαρακηνοῖς f 228r τὸ πλέον προστέθεισαι, δίκαιον ὡς ἐκ τῶν θείων Γραφῶν ἀποδειχθέντα τὸν Χριστὸν Θεὸν ἀληθινὸν καὶ σὲ πιστεύειν, εἰ μὴ πάντη καὶ τούτων ἐκπέπτωκας. Καὶ γὰρ καὶ αὐτὸς ὁ Μωάμεθ τὰ μωσαϊκά, τό τε ψαλτήριον καὶ τὰ λοιπὰ τῶν προφητῶν δίκαια καὶ ἀληθῆ ὠνόμασεν, ἐξαιρέτως δὲ τὸ Εὐαγγέλιον ἅγιον καὶ δίκαιον καὶ εὐθὲς καὶ ἀληθινὸν καὶ τέλειον ἀπεφήνατο καὶ ὅτι στέργει καὶ φυλάσσει αὐτά, καὶ οὐδὲν ὅλως εἰσὶν οἱ τούτου ἀκόλουθοι εἰ μὴ ταῦτα πληρώσαιεν.

Οὕτω δέ σε πιστεύοντα τηρεῖν δεῖ τὰς θείας ἐντολάς· φησὶ γὰρ ὁ Χριστὸς τοῖς ἰδίοις μαθηταῖς ἐγερθεὶς ἐκ νεκρῶν. «Πορευθέντες μαθητεύσατε πάντα τὰ ἔθνη, βαπτίζοντες αὐτοὺς εἰς τὸ ὄνομα τοῦ Πατρὸς καὶ τοῦ Υἱοῦ καὶ τοῦ Ἁγίου Πνεύματος, διδάσκοντες αὐτοὺς τηρεῖν πάντα ὅσα ἐνετειλάμην ὑμῖν». Ὁρᾷς τάξιν τῶν ἐντολῶν ; Πρώτη μὲν ἡ μαθητεία, ἤτουν εἰς Θεὸν ἐπίγνωσις, εἶτα τὸ βάπτισμα καὶ ἑξῆς ἅπασαι αἱ ἐντολαί. Οὕτω γὰρ καὶ ἐν τῇ Παλαιᾷ Διαθήκῃ ἐποίησε, πρῶτον τὴν εἰς αὐτὸν ἐπίγνωσιν ἐπιτάξας, «ἐγώ γάρ, φησίν, εἰμὶ Κύριος ὁ Θεός σου», ὅσας τε εἰς εὐσέβειαν συντείνουσι, καὶ ἑξῆς τὰς περὶ δικαιοσύνης τῆς πρὸς τοὺς γεννήσαντας καὶ τοὺς πλησίον. Οὐ μὴν δὲ καὶ ἐπίλυσίν τινα ἔχουσιν ὡς ἀρχαιοτέροις ἁπλᾶ τινα στοιχεῖα διδόμενα· οὐ γὰρ χωρεῖ μεγάλην διδαχὴν ἀδίδακτος ἀκούειν. Αἱ δὲ τοῦ Χριστοῦ ἐντολαὶ οὐ γυμνὰ προστάγματά εἰσιν, ἀλλὰ μετὰ προηγουμένου σκοποῦ καὶ ἐπαγομένων λύσεων, δι' ὧν δείκνυται τὸ διάφορον ἑκάστης ἐντολῆς. Φησὶ γὰρ ὁ Κύριος ἐν τῷ κατὰ Ἰωάννην. «Τοῦτό ἐστι τὸ ἔργον τοῦ Θεοῦ, ἵνα πιστεύσητε εἰς ὃν ἀπέστειλεν ἐκεῖνος». Καὶ πάλιν. «Τοῦτό ἐστι τὸ θέλημα τοῦ πέμψαντός με, ἵνα πᾶς ὁ θεωρῶν τὸν Υἱὸν καὶ πιστεύων εἰς αὐτὸν ἔχῃ ζωὴν αἰώνιον, καὶ ἀναστήσω αὐτὸν ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ». Ὅρα ὅπως προηγουμένως ‖ ἔργον Θεοῦ εἶναι τὴν εἰς αὐτὸν πίστιν ἀπεφήνατο, τὸ δὲ πέρας τῆς πίστεως, ζωὴ αἰώνιος. Καὶ τοῦτο φαίνεται f 228v

17) ἐν τῇ φα: περὶ πίστεως καὶ ἐντολῶν 18) Ματθ. 28, 19 31) Ἰωάν. 6, 29. 32) Ἰωάν. 6, 40.

πολλαχοῦ λέγων· «ὁ πιστεύων εἰς ἐμὲ ἔχει ζωὴν αἰώνιον»· καὶ «ὁ τὸν λόγον μου ἀκούων καὶ πιστεύων τὸ πέμψαντί με ἔχει ζωὴν αἰώνιον καὶ εἰς κρίσιν οὐκ ἔρχεται» καὶ τὰ ἑξῆς. Καὶ πάλιν, «αὕτη δὲ ἐστιν ἡ αἰώνιος ζωή, ἵνα γινώσκωσί σε τὸν μόνον ἀληθινὸν Θεὸν καὶ ὃν ἀπέστειλας Ἰησοῦν Χριστόν». Δοκεῖ δὲ διαφέρειν γνῶσιν πίστεως τῷ ὑποκειμένῳ, καθὸ τὸ μὲν προκαταρκτικόν, τὸ δὲ τελικόν. Ἀλλὰ τῷ τρόπῳ ἕν εἰσιν· ὁ γὰρ γινώσκων τὸν Θεόν, πάντως καὶ πιστεύει εἰς αὐτόν, ὁ δὲ πιστεύων, πάντως καὶ γινώσκει· ἐπεὶ πῶς πιστεύει εἰς ὃν οὐ γινώσκει ; Εἰ γὰρ καὶ πίστις ἐστὶν ἐλπιζομένων ὑπόστασις, πραγμάτων ἔλεγχος οὐ βλεπομένων», ἀλλ᾽ οὐ μὴν καὶ ἀγνοουμένων· ἐπεὶ ὁ ἔλεγχος τῶν γινωσκομένων, οὐ τῶν ἀγνοουμένων. Πλὴν ἔστι γνῶσις γνώσεως διαφέρουσα τῇ τε ποιότητι καὶ ποσότητι· οὐ γὰρ οὕτω γινώσκομεν τὸν Θεὸν ὡς τὰ κτίσματα αὐτοῦ, ἀλλ᾽ αὐτὰ μὲν ἀμέσως, τοῦτον δὲ δι᾽ αὐτῶν, ἤτοι διὰ τῆς περὶ αὐτῶν προνοίας, ποιήσεώς τε καὶ συντηρήσεως. Γέγραπται γὰρ «ἐκ μεγέθους καὶ καλλονῆς τῶν κτισμάτων ἀναλόγως ὁ γενεσιουργὸς αὐτῶν θεωρεῖται». Οὕτως οἱ Πατριάρχαι τὸν Θεὸν ἔγνωσαν διὰ τὸ τοῦ νοὸς καθαρόν, ἡμεῖς δὲ παχύτεροι ὄντες μόλις καὶ διὰ τῶν θείων Γραφῶν γινώσκομεν, ποδηγουσῶν ἡμᾶς εἰς τὴν ἀλήθειαν καὶ ἀπὸ γνώσεως εἰς γνῶσιν ἀναγουσῶν. Φησὶ γὰρ πρὸς Ἰουδαίους ὁ Χριστός. «Ἐρευνᾶτε τὰς Γραφάς, ὅτι ὑμεῖς δοκεῖτε ἐν αὐταῖς ζωὴν αἰώνιον ἔχειν καὶ ἐκεῖναί εἰσιν αἱ μαρτυροῦσαι περὶ ἐμοῦ· καὶ οὐ θέλετε ἐλθεῖν πρός με, ἵνα ζωὴν αἰώνιον ἔχητε». Ὡσανεὶ ἔλεγεν· ὑμεῖς μέν, ὦ Ἰουδαῖοι, δοκεῖτε ἔχειν ζωὴν ἐν τῷ ἐρευνᾶν τὰς Γραφάς, ὡς δι᾽ αὐτῶν ὁδηγούμενοι πρὸς θεογνωσίαν, οὐ μὴν δὲ ἔχετε ζωήν· ἐγὼ || γάρ εἰμι ἡ ζωή· ἐμὲ οὖν μὴ δεχόμενοι τὸν μαρτυρούμενον ὑπὸ τῶν Γραφῶν, ματαία λοιπὸν καὶ καταγέλαστος ὑμῶν
f 229r ἡ ἐν τῷ νόμῳ διατριβή. Δείκνυσι δὲ αὐτοὺς καὶ τὸ ἐθελοκάκως καὶ διεστραμμένως μετέρχεσθαι τὰς Γραφάς, διὰ τὸ εἰπεῖν, οὐ θέλετε ἐλθεῖν πρός με καὶ οὕτω τὴν ἐλπιζομένην ζωὴν λήψεσθαι, ὃ καὶ παρὰ πολλοῖς τῶν ἡμετέρων νῦν γίνεται. Τὸ δὲ λέγειν τὸν Χριστόν, ὅτι ἀναστήσει τὸν πιστεύοντα ἐν τῇ ἐσχάτῃ ἡμέρᾳ, οὐχ ὅτι τοὺς μὴ πιστεύοντας ἐνθάδε μένειν ἐᾷ δείκνυσιν, ἀλλ᾽ εἰδέναι χρὴ ὅτι πρὸς ἀπίστους καὶ τὴν ἀνάστασιν ἀμφιβάλλοντας αὐτῷ ὁ λόγος. Ἵν᾽ οὖν μὴ εἴπωσι, πῶς ζωὴν ἔχοιεν οἱ πιστεύοντες, ὁμοίως τοῖς λοιποῖς ἀποθνήσκοντες, φησὶν ὅτι ἐγὼ καὶ οὐχ᾽ ἕτερος ὁ ἀναστήσων. Ἰδοὺ ἐκ τῶν τρόπων ἀπεδεί-

[1]) Ἰωάν. 6, 47. [2]) Ἰωάν. 5, 24. [3]) Ἰωάν. 17, 3. [9]) Ἑβρ. 11, 1.
[15]) Σοφ. Σολ. 13, 5 [20]) Ἰωάν. 5, 39.

ξαμεν, ὅτι πρώτη ἐντολὴ ἐστιν ἡ εἰς αὐτὸν πίστις, ὅτι προηγουμένως ἔργον Θεοῦ τοῦτο ἐκάλεσε, καὶ ὅτι ζωὴ αἰώνιος ἐν αὐτῷ, ὅπερ οὐκ ἐν ἑτέρᾳ ἐντολῇ λέλεκται. Καὶ γὰρ ὅταν λέγῃ, «προσέχετε τὴν ἐλεημοσύνην ὑμῶν μὴ ποιεῖν ἔμπροσθεν τῶν ἀνθρώπων πρὸς τὸ θεαθῆναι αὐτοῖς», οὐ λέγει, ἵνα ζωὴν αἰώνιον ἔχητε, ἀλλὰ τί; «εἰ δὲ μή γε μισθὸν οὐκ ἔχετε παρὰ τῷ πατρὶ ὑμῶν τῷ ἐν οὐρανοῖς». Ὡσαύτως καὶ ὅταν λέγῃ, «μὴ κρίνετε», ἐπάγει «ἵνα μὴ κριθῆτε· ἐν ᾧ γὰρ κρίματι κρίνετε κριθήσεσθε καὶ ἐν ᾧ μέτρῳ μετρεῖτε, ἀντιμετρηθήσεται ὑμῖν». Καὶ πάλιν, «γρηγορεῖτε καὶ προσεύχεσθε, ἵνα μὴ εἰσέλθητε εἰς πειρασμόν», καὶ ἕτεραι τοιαῦται εἰσιν ἐντολαί, ὧν ἡ διαφορὰ καὶ ἡ προτίμησις οὐ τοσοῦτον ἐκ τῶν ὀνομάτων δήλη, ὡς ἐκ τοῦ ἀποτελέσματος. Τάξις δὲ ἐν αὐταῖς οὐ τετήρηται, ὡς ἐν τῇ Παλαιᾷ Διαθήκῃ, ὅτι ἐκεῖ μὲν ἅπαξ ἐλάλησε τοῖς Ἰσραηλίταις ὁ Κύριος, ἐνταῦθα δὲ συνεχῶς ἄλλοτε ἄλλοις προσδιαλεγόμενος, καὶ διὰ τοῦτο ἐχρῆν πρὸς τὸν ἐρωτῶντα καὶ ἀκούοντα, ἤτοι κατὰ τὴν ἕξιν ἑκάστου καὶ τὴν χρείαν λαλεῖν, ὅπερ μείζονος δοκεῖ ἐπιστήμης. Ἔχει δὲ τὴν τάξιν, ὡς ἔφημεν, ἐκ τῶν ἐπαγομένων μετὰ ταῦτα αἰτίων. || Δείκνυσι δὲ καὶ ὅτι f 229v οὐχ ὁ Κύριος δέεται τῆς ὑμῶν πίστεως, ἀλλ' ἵνα ἡμεῖς σωθῶμεν δι' αὐτῆς τοῦτο ᾠκονόμησε. Φησὶ γάρ· «οὕτως ἠγάπησεν ὁ Θεὸς τὸν κόσμον, ὥστε τὸν υἱὸν αὐτοῦ τὸν μονογενῆ ἔδωκεν, ἵνα πᾶς ὁ πιστεύων εἰς αὐτὸν μὴ ἀπόληται, ἀλλ' ἔχῃ ζωὴν αἰώνιον». Οὐδὲ γὰρ εἰκὸς τὸν μὴ ἐπιγνόντα Θεὸν μετὰ Θεοῦ εἶναι. Καὶ ἁπλῶς εἰπεῖν περὶ τῶν λοιπῶν ἐντολῶν, ὅταν ὁ Χριστὸς διαλέγηται, οὐ ζωὴν αἰώνιον ἐπαγγέλλεται, εἰ μή τι καὶ περὶ τῆς πίστεως συμπεπλεγμένον ᾖ τῇ ὁμιλίᾳ· ὅταν δὲ περὶ ταύτης, καὶ ἄνευ τῶν ἔργων ταύτην ὑπισχνεῖται. Καὶ εἰκότως· δεῖ γὰρ ἓν εἶναι τὸ τὴν βασιλείαν παρέχον, ἵνα μὴ πολλῶν ὄντων περιφρονῆται. Καὶ γὰρ ὁ Ἀπόστολος ἄνω καὶ κάτω διὰ τῆς πίστεως λέγει τελειοῦσθαι τὸν ἄνθρωπον καὶ δικαιοῦσθαι, οὐκ ἐξ ἔργων. Ταύτῃ τῇ γνώσει καὶ πίστει τρυφῶσιν οἱ ἀρετῆς ἀντιποιούμενοι. Ταύτην ὁ Θεὸς ἐβούλετο μόνην κατ' ἀρχὰς τὸν ἄνθρωπον κτήσασθαι. Τί οὖν, εἴποι τις ἄν, εἴπερ ἱκανὴ ἡ πίστις σῶσαι τὸν πιστεύοντα, αἱ λοιπαὶ ἐντολαὶ περιτταί. Πρὸς ὃ ἐρῶ, ὅτι ἱκανὴ ἡ πίστις, εἴ περ ἕτερα ἐλαττώματα οὐ κεκτήμεθα. Τίς γὰρ ἀναμάρτητος, ὥστε συμπαθείας μὴ δέεσθαι; Οὐδείς, κἂν ἡμέρα μία ἡ ζωὴ αὐτοῦ. Εἰ οὖν ὑπὸ διαφόρους ἁμαρτίας ἐσμέν, δεῖ λοιπὸν συγχωρεῖν τοῖς ἁμαρτάνουσιν, ἵνα καὶ ἡμῖν συγχωρηθείη, μὴ κρίνειν ὥστε μὴ κριθῆναι, ἐλεεῖν ὥστε ἐλεηθῆναι. Ὁρᾷς ὅπως καὶ ταῦτα καλὰ καὶ ἐκ κολάσεως ῥύουσι τὸν ἄνθρωπον, οὐ μὴν

[6]) Ματθ. 6, 1. [7]) Ματθ. 7, 1. [9]) Ματθ. 26, 41. [10]) Ἰωάν. 3, 16.

ΙΩΑΝΝΙΝΑ 2006

δὲ καὶ τῇ ζωῇ δύνανται οἰκειῶσαι ἄνευ τῆς πίστεως; Δεύτερον δὲ μετὰ τὴν πίστιν τὸ βάπτισμα τέτακται. Ἐπειδὴ γὰρ παραβάντες οἱ προπάτορες τὴν τοῦ Θεοῦ ἐντολήν, ὑπεύθυνοι πάντες οἱ ἐξ αὐτῶν, ὥς φησιν ὁ Ἀπόστολος, ἐγένοντο, ᾠκονόμησεν ὁ Θεος διὰ τῆς τοιαύτης μυστικῆς ἀναγεννήσεως σῶσαι πάντας τοὺς πιστεύοντας εἰς αὐτόν. Διά τοι
1230r τοῦτο τοῦ Νικοδήμου εἰπόντος πρὸς Χριστόν, «Ραββί, ‖ οἴδαμεν ὅτι ἀπὸ Θεοῦ ἐλήλυθας διδάσκαλος, ἀπεκρίθη αὐτῷ· ἀμὴν ἀμὴν λέγω σοι, ἐὰν μή τις γεννηθῇ ἄνωθεν, οὐ δύναται ἰδεῖν τὴν βασιλείαν τοῦ Θεοῦ». Ἐμπόδιον γὰρ ἡ προπατορικὴ ἁμαρτία· ταύτης δὲ ἐκ μέσου ἀρθείσης, ἐνεργεῖ ἡ πίστις λοιπόν. Ὥστε τὸ βάπτισμα διὰ τὴν πίστιν, οὐχ ἡ πίστις διὰ τὸ βάπτισμα. Πρῶτον γὰρ πίστις, εἶτα βάπτισμα συνεργοῦν τῇ πίστει. Ὥσπερ γὰρ ὁ Ἀβραὰμ πιστεύσας ἔλαβε σημεῖον τῆς πίστεως τὴν περιτομήν, διαστέλλουσαν αὐτὸν ἐκ τῶν ἀπίστων, οὕτω καὶ ἡμεῖς πιστεύοντες τὸ βάπτισμα λαμβάνομεν εἰς σημεῖον τῆς πίστεως καὶ ἀθέτησιν τῆς ἁμαρτίας, υἱοὶ κατὰ τὴν πίστιν γενόμενοι τῷ Ἀβραάμ. Χρὴ τοιγαροῦν πάντα ἄνθρωπον πιστεύειν εἰς Πατέρα καὶ Υἱὸν καὶ Ἅγιον Πνεῦμα, τὸν ἕνα Θεόν, καὶ βαπτίζεσθαι εἰς τὸ ὄνομα αὐτοῦ, εἶτα καὶ τὰς λοιπὰς ἐντολὰς κατὰ τὴν τοῦ Κυρίου διδαχὴν ἐκπληροῦν, αἵτινες ἐν τούτῳ ἀνακεφαλαιοῦντα, ὥς φησιν ὁ Ἀπόστολος, ἐν τῷ «ἀγαπήσεις τὸν πλησίον σου ὡς σεαυτόν». Πῶς δέ, συλλογιστικῶς ἐπήγαγεν, ἡ ἀγάπη τῷ πλησίον κακὸν οὐκ ἐργάζεται. «Πλήρωμα οὖν νόμου ἡ ἀγάπη». Καὶ ἵν' ὁριστικώτερον εἴποιμι, ἀγάπη μὲν εἰς τὸν πλησίον ἐστί, τὸ μὴ λυπεῖν αὐτὸν ἔν τινι, φιλεῖν ταὐτὰ πάσχειν, οἷα αὐτός τις φιλεῖ περὶ ἑαυτοῦ. Καὶ εἰς ταύτην συνωθούμενος ἡμᾶς ὁ Κύριος ἔφη. «Καθὼς θέλετε ἵνα ποιῶσιν ὑμῖν οἱ ἄνθρωποι, καὶ ὑμεῖς ποιεῖτε αὐτοῖς ὁμοίως». Ἀγάπη δὲ εἰς Θεόν, βεβαίωσις πίστεως. Πίστις δὲ ἐστιν εἰς Θεόν, τὸ βεβαίως ἔχειν, ὅτι δημιουργός ἐστι τῶν ἁπάντων, ὅτι παντοδύναμος, ὅτι προνοητής, ὅτι κριτής, ὅτι ἀποδίδωσιν ἑκάστῳ κατὰ τὰ ἔργα αὐτοῦ, τὸ ἔχειν τὴν ἐλπίδα ἐπ' αὐτόν, τὸ πάντα πιστεύειν τὰ περὶ αὐτοῦ ὑπὸ τῶν θεολόγων εἰρημένα, καὶ ἁπλῶς μηδεμίαν ἔχειν κατ' αὐτοῦ ἀμφίβολον ὑπόληψιν. Ὅταν γὰρ τοιαύτην πίστιν ἔχωμεν εἰς Θεόν, κινούμεθα εἰς ἀγάπην αὐτοῦ· κινούμενοι δὲ εἰς ἀγάπην αὐτοῦ, ποιοῦμεν τὰς ἐντολὰς αὐτοῦ, ὡς αὐτός φησιν ὁ Χριστός. «Ὁ ἔχων τὰς ἐντολάς μου καὶ τηρῶν αὐτάς, ἐκεῖνός ἐστιν ὁ ‖ ἀγαπῶν με», ἤτοι ὁ γινώσκων αὐτὰς καὶ ποιῶν. Πολ-
1230v λοὶ γὰρ γινώσκοντες, οὐ ποιοῦσι, καὶ κατὰ τοῦτο μᾶλλον κολάζονται.

[6]) Ἰωάν. 3, 2. [20]) Ἰακ. 2, 8. [22]) Ῥωμ. 13, 10. [25]) Λουκ. 6, 31. [34]) Ἰωάν. 14, 21.

Ε.Υ. της Π.Τ.Π ΙΩΑΝΝΙΝΑ 2006

Φησὶ γὰρ ἐν ἑτέρῳ. «Ἐκεῖνος δὲ ὁ δοῦλος, ὁ γνοὺς τὸ θέλημα τοῦ κυρίου ἑαυτοῦ καὶ μὴ ἑτοιμάσας μηδὲ ποιήσας πρὸς τὸ θέλημα αὐτοῦ, δαρήσεται πολλάς· ὁ δὲ μὴ γνούς, ποιήσας δὲ ἄξια πληγῶν, δαρήσεται ὀλίγας. Παντὶ δὲ ᾧ ἐδόθη πολύ, πολὺ ζητηθήσεται παρ' αὐτοῦ, καὶ ᾧ παρέθεντο πολύ, περισσότερον αἰτήσουσι αὐτόν».

Τινὲς δὲ γινώσκοντες, γνῶναι πολλάκις οὐ θέλουσιν· οὔτε γὰρ ταῖς ἁγίαις Γραφαῖς νουνεχῶς ἐγκύπτουσιν, οὔτε παρ' ἄλλων μαθεῖν βούλονται. Καὶ οὗτοι μᾶλλον κολάζονται, ὅτι καὶ τὴν γνῶσιν γινώσκοντες φεύγουσι, κτηνώδεις γενόμενοι ἐθελουσίως, οὐκ ἐξ ἀγνοίας ἢ ἀδυναμίας, τῇ δὲ ἀκολασίᾳ ἑαυτῶν χαριζόμενοι, ὀκνηροὶ δοῦλοι καὶ πονηροὶ χρηματίζοντες. Ἐπείπερ εἰ διὰ τὸν Θεὸν τοῦτο ἐποίουν, οὐκ ἂν τοὺς λόγους αὐτοῦ ἐμίσουν, ὥσπερ οὐδὲ υἱὸς ἀγαπῶν τὸν ἴδιον πάτερα τοὺς λόγους αὐτοῦ καὶ τὰς παραινέσεις μισεῖ. Τούτους δὲ γνωσιμάχους ὁ θειότατος ἐκάλεσεν Ἐπιφάνιος, ὡς πάσῃ τῇ γνώσει τοῦ Χριστιανισμοῦ ἀντιπίπτοντας ἐν τῷ λέγειν κρεῖσσον ἁπλῶς καὶ ἀπεριέργως πορεύεσθαι ἢ ἐρευνᾶν τὰς Γραφάς. Ἡμεῖς δὲ ἀκούομεν τοῦ Κυρίου λέγοντος πρὸς τοὺς Σαδδουκαίους, «πλανᾶσθε μὴ εἰδότες τὰς Γραφάς, μηδὲ τὴν δύναμιν τοῦ Θεοῦ», τοῦ τε Ἀποστόλου πρὸς Τιμόθεον, «ἕως ἔρχομαι πρόσεχε τῇ ἀναγνώσει, τῇ παρακλήσει, τῇ διδασκαλίᾳ». Καὶ πάλιν. «Σὺ δὲ μένε ἐν οἷς ἔμαθες καὶ ἐπιστώθης, εἰδὼς παρὰ τίνος ἔμαθες, καὶ ὅτι ἀπὸ βρέφους τὰ ἱερὰ γράμματα οἶδας, τὰ δυνάμενά σε σοφίσαι διὰ πίστεως Ἰησοῦ Χριστοῦ. Πᾶσα Γραφὴ θεόπνευστος καὶ ὠφέλιμος πρὸς διδασκαλίαν, πρὸς ἔλεγχον, πρὸς ἐπανόρθωσιν, πρὸς παιδείαν τὴν ἐν δικαιοσύνῃ, ἵνα ἄρτιος ᾖ ὁ τοῦ Θεοῦ ἄνθρωπος, πρὸς || πᾶν ἔργον ἀγαθὸν ἐξηρτισμένος». Ταῦτα δὲ οὐχ' ἁπλῶς μοι ἐνταῦθα ἐζήτηται, ἀλλ' ἐπείπερ οἱ μέν φασι τὴν ὀρθὴν πίστιν f 231r μόνην ἀρκεῖν εἰς σωτηρίαν, ἕτεροι δὲ καὶ χωρὶς αὐτῆς τῇ τῶν ἀρετῶν δὲ μόνῃ ἐκπληρώσει σῴζεσθαι πάντα ἄνθρωπον, ἄλλοι μέσως πως διάκεινται, ἀνεξέταστα ἀφέντες ἀμφότερα. Δέδοικα δὲ μήπως καὶ σὲ τοιαύτη πλάνη προέλαβε καὶ διὰ τοῦτο διαφορὰν πίστεως καὶ ἔργων εἰς μέσον ἤγαγον, καὶ ὅτι ἀμφότερα δεῖ μετέρχεσθαι τὸν χριστιανόν. Ὁ γὰρ ἐπὶ θάτερον χωλαίνων, καὶ ἐπὶ θάτερον κινδυνεύει.

Ἔστωσαν οὖν σοι τὰ προλεχθέντα πίστις ὀρθὴ εἰς χριστόν, δεύτερον δὲ ὅτι οὐδείς ποτε τῶν χριστιανῶν διδασκάλων Ἀγαρηνὸς γίνεται, τινὲς δ' ἀγροῖκοι καὶ ἐξ ἀνάγκης, τῶν δὲ παρὰ τοῖς Ἀγαρηνοῖς σοφω-

1) Λουκ. 12, 47  6) Ἐν τῇ φᾳ: περὶ τῶν ἀγνωσίαν ὑποκρινομένων.
17) Ματθ. 22, 29.  19) Α' Τιμ. 4,13  20) Β' Τιμ. 3,14—17  31) Ἐν τῇ φᾳ: Ἀπόδειξις ὀρθῆς πίστεως.

τάτων πολλοὶ κατὰ διαφόρους καιροὺς ηὐτομόλησαν εἰς τὸ χριστιανικὸν δόγμα. Καὶ μάρτυς ἐπὶ τούτοις ὁ Περισυκάλυφος μετὰ τῶν μαθητῶν αὐτοῦ, ὁμολογήσας τὴν ὀρθόδοξον πίστιν, οἵτινες καὶ πυρὶ μετὰ διαφόρους βασάνους ὑπὸ τῶν τῆς γεέννης υἱῶν παρεδόθησαν· καί γε πολλοὶ τῶν ἀκολούθων αὐτοῦ, ἦν γὰρ μέγας ὁ ἀνήρ, καὶ πολλοὶ τοῦ δήμου ὑπὲρ Χριστοῦ ἠγωνίσαντο ἄν, εἰμὴ γνόντες οἱ ἔξαρχοι τοῦ Σατανᾶ τὴν τούτων ὠφέλειαν ἑαυτῶν δὲ ἀπώλειαν, ἐπέσχον τῆς τυραννίδος, καὶ τοῦτο τοῦ Σατανᾶ ἵνα τοὺς μὲν βίᾳ ἐφέλκηται, τοὺς δὲ κωλύει τοῦ ἀγαθοῦ. Εἰ δὲ καὶ γνῶναι θέλεις πότερον τὰ ἡμέτερα δόγματα ἢ τῶν λοιπῶν αἱρέσεων ὀρθότερα, ἔξεστι μέν σοι καὶ ἐκ τῶν θείων Γραφῶν παλαιᾶς τε καὶ νέας καὶ τῶν συνοδικῶν, ὡς ἡμεῖς τὴν ἐξ ἀρχῆς παρά τε τῶν θείων Ἀποστόλων καὶ τῶν ἑξῆς Ἁγίων ἐκτεθεῖσαν πίστιν κρατοῦμεν. Αἱρετικοὶ δ' ἅπαντες ἀρχηγοὺς ἑτέρους ἔσχον τῆς αἱρέσεως, τὴν ἀπλανῆ καταλείψαννες. Πλὴν καὶ ἐξ αὐτῶν τῶν αἱρετικῶν ἐρευνῶν || εὑρήσεις τὴν ἀλήθειαν. Εἰ γὰρ Ἰουδαῖον ἐρωτήσεις, τίνες κατὰ
f 231v τὴν θρησκείαν κρείττους, Ἰσμαηλῖται ἢ Χριστιανοί, ἀποκριθήσεταί σοι, ὅτι Χριστιανοί, εἰ δὲ Σαρακηνὸν ἐρωτήσεις, τίνες κρείττους, Ἰουδαῖοι ἢ Χριστιανοί, ὡσαύτως ἐρεῖ σοι ὅτι Χριστιανοί. Οὕτως οὖν καὶ Ἀρμένιον καὶ Ἰακωβίτην ἐρωτῶν, εἰ Λατῖνοι βελτίους τοῖς δόγμασιν ἢ Ῥωμαῖοι, πάντως ἐρεῖ σοι ὅτι Ῥωμαῖοι· εἰ δὲ Λατῖνον περὶ ἀμφοτέρων, τὰ ὅμοια κἀκεῖνος ἀποκρίνεταί σοι. Καὶ οὐ μόνον ἐντεῦθεν ἡ ἡμετέρα πίστις δόκιμος, ὡς παρὰ πάντων οὕτως ὁμολογουμένη, ἀλλ' ὅτι καὶ αἱρετικοὶ πάντες ἡμᾶς οὐκ ἀποστρέφονται, εἰ μόνον ἐβουλόμεθα συγκαταβαίνειν αὐτοῖς. Ἡμεῖς δὲ τοῦτο οὐ ποιοῦμεν μέχρις οὗ τὴν αἵρεσιν τελείως ἀρνήσονται. Οὕτως ἄρα ἡ πίστις ἡμῶν ἐν ἔργοις, ἐν λόγοις, ἐν θαύμασιν. Τὴν δὲ τῶν Ἀγαρηνῶν θρησκείαν τίς ὁ ἐπαινῶν; Πόθεν ἔχει τὴν μαρτυρίαν, ἐναντία οὖσα παλαιᾶς καὶ νέας Γραφῆς;

Ἀλλὰ φασίν, ὅτι ὁ Μωϋσῆς καὶ οἱ λοιποὶ προφῆται περὶ τοῦ Μωάμεθ προεφήτευσαν, καὶ μᾶλλον ὁ Χριστὸς ὅτι καὶ τὸ ὄνομα αὐτοῦ ἐδήλωσεν οὕτω πως εἰπὼν τοῖς Ἰουδαίοις: Εὐαγγελίζομαι ὑμῖν τὸν ἀπόστολον τοῦ Θεοῦ, ὃς ἥξει μετ' ἐμὲ καὶ τὸ ὄνομα αὐτοῦ Μαχούμετ. Καὶ δειξάτωσαν λοιπόν. Ὁ γὰρ Μωϋσῆς τοῖς Ἰσραηλίταις ἔφησεν ἀναστήσειν ὁ Θεὸς προφήτην, οὐ τοῖς Ἀγαρηνοῖς. Χριστὸς δὲ οὗτος ἦν, προφήτης μὲν κατὰ τὸ ἀνθρώπινον, προεφήτευσε γὰρ περὶ τοῦ σταυροῦ αὐτοῦ καὶ τῆς ἀναστάσεως, περὶ τοῦ κηρύγματος τῶν ἰδίων μαθητῶν, περὶ τῆς καταστροφῆς τοῦ ναοῦ τῶν Ἰουδαίων καὶ τῆς ἁλώσεως Ἰερουσαλήμ, τῆς τε κοινῆς συντελείας καὶ τῆς καταπαύσεως τοῦ νόμου,

[28]) Ἐν τῇ ῳα: σύγκρισις καὶ ὑπεροχὴ Χριστοῦ πρὸς τὸν Μωάμεθ.

Ε.Υ.Δ.... ΙΩΑΝΝΙΝΑ 2006